αὐτῷ ἐλθεῖν τὸν Ἀκάκιον· ὅπως τε καὶ τῆς θέας ἀπολαῦσαι τἀνδρός.
Καὶ τοῦτο γενέσθαι τοῦ βασιλέως Θεοδοσίου κελεύσαντος. Τῆς δὲ ἐκ Θεοῦ νίκ-
ης τοιαύτης τοῖς Ῥωμαίοις ὑπαρξάσης, πολλοὶ τῶν ἐν λόγοις ἀνθούντων εἰς τὸν
βασιλέα, βασιλικοὺς ἔγραφον λόγους, δημοσίᾳ τε τούτους παρῄεσαν.
Καὶ δὴ καὶ ἡ τοῦ βασιλέως γαμετή· ἡ Λεοντίου γὰρ τοῦ σοφιστοῦ τῶν Ἀθηνῶν
θυγάτηρ ἐστί· ταύτην μὲν καὶ ὁ βασιλεὺς ἔμελλεν ἄγεσθαι, χριστιανὴν μὲν ὁ
ἐπίσκοπος Ἀττικὸς ποιήσας, ἐν τῷ βαπτίζειν ἀντὶ Ἀθηναΐδος, Εὐδο-
κίαν ὠνόμασεν. Πολλοὶ μὲν οὖν ὡς ἔφην, βασιλικοὺς ἔλεγον λόγους·
ὁ μέν τις τῷ βασιλεῖ γνώριμος βουλόμενος γενέσθαι· ὁ δέ τις τὴν οἰ-
κείαν ἐν λόγοις δύναμιν, εἰς πολλοὺς ἀγαγεῖν ἐσπουδακώς, μηδαμῶς ἀ-
προΐεσθαι θέλων, ἣν πολλοῖς πόνοις παιδείαν ἐκτήσατο:

κβ Περὶ τῶν προσόντων καλῶν τῷ βασιλεῖ Θεοδοσίῳ τῷ νέῳ:

Ἐγὼ δέ, οὔτε βασιλεῖ γνώριμος εἶναι σπουδάζων, λόγων ἐπίδειξιν ποιήσα-
σθαι βουλόμενος, αὐτὰ ψιλὰ μετὰ τῆς ἀληθείας, τὰ προσόντα καλὰ τῷ
βασιλεῖ, ἀπομνημονεῦσαι προῄρημαι· ἐπεὶ καὶ τὸ σιγῆσαι αὐτὰ οὕτως
ὄντα χρηστά, ζημίαν κρίνω μὴ γνωσθέντα τοῖς μεθ' ἡμᾶς. Πρῶτον μὲν
γὰρ ἐν βασιλείᾳ ἀποτεχθεὶς καὶ τραφείς, οὐδὲν ἐκ τῆς ἀνατροφῆς εἶχε χαλα-
κῶδες· ἀλλ' οὕτως ἦν φρόνιμος, ὡς τοῖς ἐντυγχάνουσι νομίζεσθαι, διὰ
πεῖραν πολλῶν εἰληφέναι πραγμάτων. Καρτερικὸς δὲ οὕτως ἦν, ὡς καὶ
κρύος καὶ καῦμα, γενναίως ὑπομένειν· νηστεύειν τε τὰ πολλά· καὶ μάλιστα τὰς
καλουμένας τετράδας καὶ παρασκευὰς ἡμέρας· καὶ τοῦτο ἐποίει, ἀκριβῶς χρι-
στιανίζειν ἐσπουδακώς. Οὐκ ἀλλοιωτέρα δὲ ἀσκητηρίου κατέστησε τὰ βασί-
λεια· αὐτὸς τοιγαροῦν ταῖς ἑαυτοῦ ἀδελφαῖς ὀρθρίζων, ἀντιφώνους ὕ-
μνους εἰς τὸ θεῖον ἔλεγε· διὸ καὶ τὰ ἱερὰ γράμματα, ἀποστηθίζων ἀπεδέ-
λλεν ἐντυγχάνουσι τοῖς ἐπισκόποις, ὡς ἱερεὺς πάλαι καθεστώς,
ἐκ τῶν γραφῶν διελέγετο. συνῆγε δὲ βίβλους μὲν ἱερὰς καὶ τοὺς
ἑρμηνεῖς αὐτῶν σὺν ἐπιμελείᾳ μᾶλλον ἢ Πτολεμαῖος ὁ Φιλάδελφος
πρότερον· τὸ ἀνεξίκακον καὶ φιλάνθρωπον, πάντας ὑπερηκόντισεν.
Ἰουλιανὸς μὲν γὰρ ὁ βασιλεὺς καίπερ φιλοσοφίαν ἐπαγγειλάμενος, ὅμως οὐκ
ἤνεγκε τὴν ὀργήν, κατὰ τῶν ἐν Ἀντιοχείᾳ σκωψάντων αὐτόν· ἀλλὰ βασά-
νοις μεγίστοις Θεοδώρῳ περιέβαλε. Θεοδόσιος δέ, πολλὰ χαίρειν τοῖς
Ἀριστοτέλους φράσας συλλογισμοῖς, τὴν ἔργῳ ἤσκει φιλοσοφίαν· ὀργῆς τ' ἐ-
κράτει καὶ λύπης καὶ ἡδονῆς· καὶ οὐδένα τῶν ἀδικησάντων ἠμύνατο· ἀλλ' οὐδὲ ὅλως
αὐτὸν ὀργιζόμενόν τις τεθέαται. Καί ποτέ τινος τῶν γνωρίμων αὐτοῦ ἐρωμένου,

http://digital.slub-dresden.de/ppn334880238/500